Dictation

*Athenaze*, Chapter 8b

Nouns and articles

Fold the paper in half. Then fill in the blanks with correct words. After you have completed the dictation, then explain the declension, gender, and case of each word filled in.

προχωροῦσιν οὖν ἀνὰ τὸ ______ καὶ, ἐπεὶ εἰς ἄκρον ἀφικνοῦνται, τὰς ________ ὁρῶσι κάτω κειμένας. ὁ δὲ Φίλιππος τὴν _______ θεώμενος, "ἰδού,"φησίν, "ὡς καλὴ ἐστιν ἡ ______. ἆρ' ὁρᾶτε τὴν Ἀκρόπολιν;" ἡ δὲ Μέλιττα,"ὁρῶ δή. ἆρ' ὁρᾶτε καὶ τὸν ____________; ὡς καλός ἐστι καὶ μέγας." ὁ δὲ Φίλιππος, "ἀλλὰ σπεῦδε, ὦ πάππα· καταβαίνομεν γὰρ πρὸς τὴν ________."

ταχέως οὖν καταβαίνουσι καὶ εἰς τὰς ________ ἀφικόμενοι, τὸν ἡμίονον προσάπτουσι ________ τινὶ καὶ εἰσέρχονται. ἐν δὲ τῷ ________ πολλοὺς ἀνθρώπους ὁρῶσιν ἐν ταῖς ______ βαδίζοντας· ἄνδρες γάρ, ___________ , νεανίαι, παῖδες, _________ τε καὶ ξένοι, σπεύδουσι πρὸς τὴν _________. ἡ οὖν Μυρρίνη φοβουμένη ὑπὲρ τῶν __________, "ἔλθε δεῦρο, ὦ ___________," φησίν, "καὶ λαμβάνου τῆς _________. μὴ λεῖπέ με ἀλλ' ἕπου ἅμα ἐμοί."

προχωροῦσιν οὖν ἀνὰ τὸ ὄρος καὶ, ἐπεὶ εἰς ἄκρον ἀφικνοῦνται, τὰς Ἀθήνας ὁρῶσι κάτω κειμένας. ὁ δὲ Φίλιππος τὴν πόλιν θεώμενος, "ἰδού,"φησίν, "ὡς καλὴ ἐστιν ἡ πόλις. ἆρ' ὁρᾶτε τὴν Ἀκρόπολιν;" ἡ δὲ Μέλιττα,"ὁρῶ δή. ἆρ' ὁρᾶτε καὶ τὸν Παρθενῶνα; ὡς καλός ἐστι καὶ μέγας." ὁ δὲ Φίλιππος, "ἀλλὰ σπεῦδε, ὦ πάππα· καταβαίνομεν γὰρ πρὸς τὴν πόλιν."

ταχέως οὖν καταβαίνουσι καὶ εἰς τὰς πύλας ἀφικόμενοι, τὸν ἡμίονον προσάπτουσι δένδρῳ τινὶ και εἰσέρχονται. ἐν δὲ τῷ ἄστει πολλοὺς ἀνθρώπους ὁρῶσιν ἐν ταῖς ὁδοῖς βαδίζοντας· ἄνδρες γάρ,γυναῖκες,νεανίαι, παῖδες, πολῖταί τε καὶ ξένοι, σπεύδουσι πρὸς τὴν ἀγοράν. ἡ οὖν Μυρρίνη φοβουμένη ὑπὲρ τῶν παίδων, "ἔλθε δεῦρο, ὦ Φίλιππε," φησίν, "καὶ λαμβάνου τῆς χειρός. μὴ λεῖπέ με ἀλλ' ἕπου ἅμα ἐμοί."